ἄν τις ἀπαριθμήσαιτο τοιαῦτα; Ἀλλ᾽ ἐπεί, ὡς ἡ βλάσ-
φημος καὶ δυσσεβὴς θρασύνεται γλῶσσα, τὰ ἐπίγεια
τοῦ πονηροῦ, πῶς λέγει αὐτὰ ἴδια ὁ κοινὸς ἡμῶν δεσπό-
Joh. 1. 11. της καὶ σωτήρ; Εἰς τὰ ἴδια γὰρ ἦλθε, φησί, καὶ οἱ ἴδιοι
αὐτὸν οὐ παρέλαβον. Εἰ δὲ λέγοιεν οἱ ἀποστάται ἴδια μὲν εἶναι
τοὺς προφητικοὺς λόγους, ἐλθόντα δὲ εἰς αὐτοὺς τὸν Χριστόν,
ἐκείνους δὲ τοῦτον μὴ παραδέξασθαι· ὅρα τὴν ὑπερβάλλουσαν
αὐτῶν ἄνοιαν καὶ ἀναισχυντίαν. Πρῶτον μὲν πῶς λέγουσι
τοὺς προφητικοὺς λόγους ἰδίους εἶναι τοῦ Χριστοῦ· αὐτοὺς τοὺς
προφήτας λέγοντες πλάσματά τε εἶναι, καὶ ἐπίπνοιαν δε-
χέσθαι τοῦ πονηροῦ; Δεύτερον δὲ πῶς εἰς τοὺς προφητικοὺς λό-
γους ἦλθεν ὁ Χριστός; Πρῶτον μὲν γὰρ εἰς ἀλλοτρίους ἦλθ-
κατὰ τὸν ἐκείνων λόγον. Ἀλλότριοι γὰρ οἱ προφητικοὶ λό-
γοι, ὡς ἐξ ἀλλοτρίου ἐμπνεόμενοι, καὶ οὐκ ἐκ τοῦ ἀγαθοῦ θεοῦ.
Ἔπειτα δὲ πῶς δύνανται ὅλως ἴδιοι εἶναι οἱ προφητικοὶ
λόγοι τοῦ Χριστοῦ, οἵτινες οὐκ ἐδέξαντο αὐτόν; Λέγει γάρ·
Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον.
v. 12. Ἔτι δὲ τίνας ἔδωκεν ὁ Χριστὸς ἐξουσίαν τέκνα θεοῦ γε-
νέσθαι; Ἆρα τοὺς προφητικοὺς λόγους; Καὶ πῶς οὐ μα-
κρὸς λῆρος τοῦτο; Οἱ λόγοι γάρ, εἰ μὲν ἐκ θεοῦ εἰσιν,
αὐτόθεν ἔχουσι τὸ εἶναι, οἰκεῖοι θεοῦ. Εἰ δὲ πονηροί, πῶς
v. 13. ἂν τεκνωθεῖεν θεῷ; Ἔτι δὲ ποῖος μὲν λόγος προφητι-
κὸς ἐξ αἱμάτων καὶ ἐκ θελήματος ἀνδρός, καὶ ἐκ θελή-
ματος σαρκὸς ἐγεννήθη; Ἐπάγει γάρ· Οἳ οὐκ ἐξ αἱμά-
των οὐδὲ ἐκ θελήματος ἀνδρός, οὐδὲ ἐκ θελήματος σαρκὸς
ἀλλ᾽ ἐκ